τοῦτό ἐστι τὸ πόρρω ποιοῦν ἡμᾶς τοῦ θεοῦ περιέλωμεν τὸ χαλεπὸν τοῦτο διάφραγμα, καὶ τὸ κωλῦον οὐδὲν γενέσθαι ἐγγύς. Ἄκουσον δὲ καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων τοῦτο γεγονός. Παρὰ Κορινθίοις ἐπισημός τις ἀνὴρ ἁμαρτίαν εἰργάσατο τοιαύτην, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ἐνομίζετο. Πιστὸς δὲ οὗτος ἦν, καὶ τῶν ᾠκειομένων τῷ Χριστῷ· τινὲς δὲ αὐτὸν καὶ τῶν ἱερωμένων εἶναί φασιν. Τί οὖν; Ἆρα ἐξέκοψεν αὐτὸν τῆς τῶν σῳζομένων ἐλπίδι μερίδος ὁ Παῦλος; Οὐδαμῶς· αὐτὸς γάρ ἐστιν ὁ μυριάκις ἄνω καὶ κάτω Κορινθίοις ἐγκαλῶν ὅτι αὐτὸν εἰς μετανοίαν οὐ κατέστησαν· βουλόμενος δὲ δεῖξαι ἡμῖν ὅτι οὐκ ἔστιν ἁμάρτημα ὃ μὴ δύναται ἰαθῆναι, πάλιν ἔλεγεν περὶ αὐτοῦ τοῦ χαλεπώτερα τῶν ἐθνῶν ἡμαρτηκότος· « Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Ἀλλὰ τοῦτο μὲν πρὸ τῆς μετανοίας· ἐπειδὴ δὲ μετενόησεν· « Ἱκανὸν τῷ τοιούτῳ, φησίν, ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. » Καὶ ἐπέστελλεν παρακαλέσαι πάλιν αὐτόν, καὶ προσέσθαι τὴν μετάνοιαν, ὥστε μὴ πλεονεκθῆναι ὑπὸ τοῦ Σατανᾶ. Καὶ ἔθνος δὲ ὁλόκληρον τὸ τῶν Γαλατῶν, μετὰ τὸ πιστεῦσαι καὶ σημεῖα ἐργάσασθαι καὶ πολλοὺς πειρασμοὺς ὑπενεγκεῖν διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστὸν καταπεσόντας, πάλιν ἀνίστησιν. Ὅτι μὲν γὰρ ἐθαυματούργουν, ἐδήλωσεν εἰπών· « Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν », ὅτι δὲ καὶ πολλὰ τῆς πίστεως